ἐποίησεν· ἤγαγον ἐπ' αὐτὸν ἐν χρόνῳ, ᾧ ἐπεσκεψάμην ἐπ' αὐτόν.
[3]ὅτι τρυγηταὶ ἦλθόν σοι, οὐ καταλείψουσίν σοι καταλείμματα· ὡς 3
κλέπται ἐν νυκτὶ ἐπιθήσουσιν χεῖρα αὐτῶν. [4]ὅτι ἐγὼ κατέσυρα τὸν 4
Ησαυ, ἀνεκάλυψα τὰ κρυπτὰ αὐτῶν, κρυβῆναι οὐ μὴ δύνωνται·
ὤλοντο διὰ χεῖρα ἀδελφοῦ αὐτοῦ καὶ γείτονος αὐτοῦ, καὶ οὐκ ἔστιν
[5]ὑπολείπεσθαι ὀρφανόν σου, ἵνα ζήσηται· καὶ ἐγὼ ζήσομαι, καὶ 5
χῆραι ἐπ' ἐμὲ πεποίθασιν. [6]ὅτι τάδε εἶπεν κύριος Οἷς οὐκ ἦν νόμος 6
πιεῖν τὸ ποτήριον, ἔπιον· καὶ σὺ ἀθῳωμένη οὐ μὴ ἀθῳωθῇς, ὅτι
πίνων πίεσαι· [7]ὅτι κατ' ἐμαυτοῦ ὤμοσα, λέγει κύριος, ὅτι εἰς 7
ἄβατον καὶ εἰς ὀνειδισμὸν καὶ εἰς κατάρασιν ἔσῃ ἐν μέσῳ αὐτῆς,
καὶ πᾶσαι αἱ πόλεις αὐτῆς ἔσονται ἔρημοι εἰς αἰῶνα. [8]ἀκοὴν ἤκου- 8
σα παρὰ κυρίου, καὶ ἀγγέλους εἰς ἔθνη ἀπέστειλεν Συνάχθητε καὶ
παραγένεσθε εἰς αὐτήν, ἀνάστητε εἰς πόλεμον. [9]μικρὸν ἔδωκά σε 9
ἐν ἔθνεσιν, εὐκαταφρόνητον ἐν ἀνθρώποις. [10]ἡ παιγνία σου ἐν- 10
εχείρησέν σοι, ἰταμία καρδίας σου κατέλυσεν τρυμαλιὰς πετρῶν,
συνέλαβεν ἰσχὺν βουνοῦ ὑψηλοῦ· ὅτι ὕψωσεν ὥσπερ ἀετὸς νοσ-
σιὰν αὐτοῦ, ἐκεῖθεν καθελῶ σε. [11]καὶ ἔσται ἡ Ιδουμαία εἰς ἄβατον, 11
πᾶς ὁ παραπορευόμενος ἐπ' αὐτὴν συριεῖ. [12]ὥσπερ κατεστράφη 12
Σοδομα καὶ Γομορρα καὶ αἱ πάροικοι αὐτῆς, εἶπεν κύριος παντο-
κράτωρ, οὐ μὴ καθίσῃ ἐκεῖ ἄνθρωπος, καὶ οὐ μὴ ἐνοικήσῃ ἐκεῖ
υἱὸς ἀνθρώπου. [13]ἰδοὺ ὥσπερ λέων ἀναβήσεται ἐκ μέσου τοῦ Ιορ- 13
δάνου εἰς τόπον Αιθαμ, ὅτι ταχὺ ἐκδιώξω αὐτοὺς ἀπ' αὐτῆς· καὶ
τοὺς νεανίσκους ἐπ' αὐτὴν ἐπιστήσατε. ὅτι τίς ὥσπερ ἐγώ; καὶ
τίς ἀντιστήσεταί μοι; καὶ τίς οὗτος ποιμήν, ὃς στήσεται κατὰ
πρόσωπόν μου; [14]διὰ τοῦτο ἀκούσατε βουλὴν κυρίου, ἣν ἐβουλεύ- 14
σατο ἐπὶ τὴν Ιδουμαίαν, καὶ λογισμὸν αὐτοῦ, ὃν ἐλογίσατο ἐπὶ
τοὺς κατοικοῦντας Θαιμαν Ἐὰν μὴ συμψησθῶσιν τὰ ἐλάχιστα τῶν
προβάτων, ἐὰν μὴ ἀβατωθῇ ἐπ' αὐτὴν κατάλυσις αὐτῶν· [15]ὅτι ἀπὸ 15
φωνῆς πτώσεως αὐτῶν ἐσείσθη ἡ γῆ, καὶ κραυγή σου ἐν θαλάσ-
σῃ ἠκούσθη. [16]ἰδοὺ ὥσπερ ἀετὸς ὄψεται καὶ ἐκτενεῖ τὰς πτέρυγας 16

2 επ ult. > A | αυτον ult.] -την Spau. || 3 (𝔐 9) σοι 1⁰] οι BS, + οι *L* | ου > S*† | καταλ(ε)ιμματα] -μμα BS | ως BS†] ωσπερ A*C*, ωσει Q*L* | χειρας SA || 4 (𝔐 10) κατεσυρα] κατηραυνησα A† | αυτου paenult.] σου S*† | και γειτ. αυτου] γειτ. μου BS† || 5 (𝔐 11) ζησεται B*SA | χηραι] pr. αι A || 6 (𝔐 12) ειπεν BS†] λεγει rel. | οτι πινων πιεσαι > BSpau. || 7 (𝔐 13) οτι 1⁰ > A† | καταραν SA | αιωνα] pr. τον A || 9 (𝔐 15) pr. ιδου A | δεδωκα A | ευκαταφρ.] pr. και A || 10 (𝔐 16) υψωσεν] εαν υψωσεις(pro -σης) A | αυτου] σου A || 12 (𝔐 18) καθιση ... ενοικ.] tr. A† | ενοικηση Q] -σ(ε)ι BS, κατοικησει A: cf. 27 40 || 13 (𝔐 19) μεσου του ιορδ.] του υδατος S*† | αιθαμ] ηθ. A† | επ αυτην] αυτης S*†, επ αυτης QSc† | ουτος] + ο Spau. || 14 (𝔐 20) συμ(uel ν)ψησθωσιν *L*] σ 2⁰ > B: cf. 22 19; -ψηφισθ. AQ, συνωσιν S† | αυτην] -τη A†, -της Sc†, -τους Qpl. || 15 (𝔐 21) εσεισθη] εφοβηθη BS† | σου εν θαλ.] θαλασσης ουκ BS† || 16 (𝔐 22) εκτεινει B*†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/711 UNIVERSITÄT LEIPZIG